ἄλλα ἐν χρόνῳ· τὸ δ' ἐν χρόνῳ οὐ προηγεῖται τοῦ ἀϊδίου, οὐδὲ βοηθεῖ πρὸς τὸ εἶναι ἐκεῖνο· ἢ ὅτι τὸ μὲν δεῖσθαι βοηθείας δι' ἀσθένειαν συμβαίνει δυνάμεως· τοῦτο δὲ οὐ προσήκει τῷ Θεῷ, ὡς ἐν τῇ πρὸς Ῥωμαίους· „Τίς ἔγνω νοῦν Κυρίου, ἢ τίς σύμβουλος αὐτοῦ ἐγένετο;“ ἢ ὅτι τοῦ αὐτοῦ ἐστι τὸ βοηθεῖσθαι καὶ τὸ κωλύεσθαι, ὁ δὲ προορισμὸς κωλυθῆναι οὐ δύναται ὥστε, οὐδὲ βοηθῆναι· πρὸς μὲν τὸ πρῶτον ῥητέον, ὅτι τοῦτο ἀληθές ἐστιν ὅσον πρὸς αὐτὸν τὸν προορισμόν, ὡς εἴρηται· πρὸς δὲ τὸ δεύτερον, ὅτι διχῶς λέγεται βοηθεῖσθαι, καθόσον τε δύναμιν ὑπό τινος λαμβάνει καὶ καθόσον ὡς διακόνου διά τινος τὴν ἑαυτοῦ πληροῖ διάταξιν, ὡς ἐν τῇ πρὸς Κορινθίους· „Θεοῦ γάρ ἐσμεν συνεργοί“. Περὶ δὲ τοῦ πρώτου τρόπου λέγεται· „τίς βοηθεῖ τῷ πνεύματι τοῦ Κυρίου;“ Πρὸς δὲ τὸ τρίτον, ὅτι αἱ δεύτεραι αἰτίαι οὐ δύνανται ἐξελθεῖν τὴν τάξιν τῆς καθόλου καὶ πρώτης αἰτίας· ἀποπληροῦσι δέ, καὶ διὰ τοῦτο ὁ προορισμὸς βοηθεῖται μὲν ὑπὸ τῶν κτισμάτων, κωλύεται δὲ οὐδαμῶς. —

f. 207v

## XXIV. — Περὶ τῆς βίβλου τῆς ζωῆς.

1. Ὅτι ἔστι ζωῆς βίβλος, κατὰ τό· „Ἐξαλειφθήτωσαν ἐκ βίβλου ζώντων“. Λέγεται δὲ μεταφορικῶς ἀπὸ τῶν ἀνθρώπων, εἰωθότων τοὺς ἐκλεγομένους ἐπί τι, οἷον στρατιώτας ἢ βουλευτάς, καταγράφειν ἐν βιβλίῳ. Καταγράφεται δὲ καὶ ἐν διανοίᾳ τινὸς τὸ ἀνεπιλήστως καὶ βεβαίως μνημονευόμενον, ὡς ἐν τρίτῳ τῶν Παροιμιῶν· „Μὴ ἐπιλάθῃ τοῦ νόμου μου, καὶ τὰς ἐντολάς μου ἡ καρδία σου φυλαξάτω“· καὶ μετ' ὀλίγα· „Ἀπόγραψαι αὐτὰς ἐν πλαξὶ τῆς καρδίας σου“. Ὅθεν αὐτὴ ἡ τοῦ Θεοῦ γνῶσις, ᾗ βεβαίως μέμνηται ἑαυτοῦ προορίσαντος τινὰς εἰς τὴν αἰώνιον ζωήν, βίβλος ζωῆς λέγεται. Λέγεται δὲ οὕτως καὶ ἡ βίβλος τῶν ἀγόντων εἰς τὴν ζωήν, ἢ τῶν ποιητέων, ὡς ἡ παλαιὰ διαθήκη καὶ νέα· ἢ τῶν ἤδη γεγενημένων· λέγεται καὶ ἡ θεία δύναμις, δι' ἧς ἄγονται εἰς μνήμην ἑκάστῳ τὰ αὐτοῦ ἔργα. Βίβλος δὲ θανάτου οὐ λέγεται διὰ τὸ μὴ εἰωθέναι ἀπογράφεσθαι τοὺς ἀχρήστους, τοὺς δὲ ἐκλεκτοὺς μόνον.

3. Ὅτι δυνατόν τινα τῆς βίβλου τῆς ζωῆς ἐξαλείφεσθαι, κατὰ τὸ τοῦ Δαυΐδ· „Ἐξαλειφθήτωσαν ἐκ βίβλου ζώντων“· καὶ ἐν τῇ Ἀποκαλύψει· „Ὃς ἂν νικήσῃ, οὗτος ἐνδυθήσεται ἱματίοις λευκοῖς, καὶ οὐκ ἀπαλείψω τὸ ὄνομα αὐτοῦ ἐκ τῆς βίβλου τῆς ζωῆς“. Πρὸς γὰρ τὴν βίβλον τῆς ζωῆς, ἥ ἐστιν ἀπογραφὴ τῶν εἰς τὴν αἰώνιον ζωὴν τεταγμένων, διχῶς τις τάττεται, ἔκ τε τοῦ θείου προορισμοῦ, καὶ τοῦτο οὐδέποτε ἀσθενεῖ, καὶ τῆς χάριτος. Οἱ γὰρ ἔχοντες χάριν ἐξ αὐτοῦ τούτου ἄξιοί εἰσι τῆς αἰωνίου ζωῆς· τὸ δὲ οὕτω τετάχθαι πολλάκις καὶ ἀσθενεῖ, ἀποπιπτόντων

---

4 Rom. 11, 34  6 *λύσις τῆς ἀντιθέσεως* add A  10 I Cor. 3, 9  17 Ps. 68, 29
21 Prov. 3, 3  32 Apoc. 2, 5

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

τῆς ζωῆς ἐνίων διὰ τῆς πρὸς θάνατον ἁμαρτίας. Οὐκοῦν οἱ μὲν ἐκ τοῦ θείου προορισμοῦ τεταγμένοι ἁπλῶς εἰσιν ἐκεῖ γεγραμμένοι, ὡς ἕξοντες τὴν ζωὴν καθ' αὐτήν· οὗτοι δὲ οὐδέποτε ἐξαλείφονται. Οἱ δὲ ἐκ τῆς χάριτος τεταγμένοι λαβεῖν αὐτὴν πῃ λέγονται γεγράφθαι ἐν τῇ τῆς ζωῆς βίβλῳ, ὡς γεγραμμένοι ὅτι ἕξουσι τὴν αἰώνιον ζωὴν οὐ καθ' αὑτήν, ἀλλ' ἐν τῇ ταύτης αἰτίᾳ. Οὗτοι δὲ καὶ ἐξαλείφεσθαι δύνανται, τῆς ἐξαλοιφῆς μὴ ἐπὶ τὴν εἴδησιν ἀναγομένης τοῦ Θεοῦ, ὡς αὐτοῦ πρότερον γινώσκοντός τι, εἶτ' ἀγνοοῦντος, ἀλλ' ἐπὶ τὸ ἐγνωσμένον, ὅτι ὁ Θεὸς γινώσκει τινά, πρότερον μὲν εἰς τὴν αἰώνιον ζωὴν τεταγμένον, | μετὰ δὲ ταῦτα οὐ f. 208 τεταγμένον διὰ τὸ τῆς χάριτος ἐκπεσεῖν.

## XXV. — Περὶ τῆς θείας δυνάμεως.

1. Ὅτι ἔστιν ἐν τῷ Θεῷ δύναμις, κατὰ τὸ ἐν Ψαλμοῖς· „Δυνατὸς εἶ, Κύριος, καὶ ἡ ἀλήθειά σου κύκλῳ σου"· ἀλλ' οὐχ ἡ παθητική, ἥ ἐστιν ἀρχὴ τοῦ ὑφ' ἑτέρου πάσχειν, κατὰ τὸν Φιλόσοφον ἐν πέμπτῳ τῶν μετὰ τὰ φυσικά· τέλειος γάρ ἐστιν, καὶ ἐνέργεια καθαρά, καὶ φύσει τελεία· ἀλλ' ἡ ἐνεργητική, ἥ ἐστιν ἀρχὴ τοῦ δρᾶν εἰς ἕτερον.

2. Ὅτι καὶ ἄπειρός ἐστιν, ὡς καὶ ἡ θεία οὐσία αὐτή, ᾗ ὁ Θεὸς ἐνεργεῖ καὶ ποιεῖ. Ὅσῳ γὰρ τὸ ποιοῦν τελειότερον ἔχει τὸ εἶδος ᾧ ποιεῖ, καὶ ἡ δύναμις αὐτοῦ τοσούτῳ μείζων ἐν τῷ ποιεῖν· τὸ γὰρ μᾶλλον θερμὸν καὶ μείζω δύναμιν θερμαντικὴν ἔχει, καὶ εἰ οἷόν τε ἦν ἄπειρον εἶναι θερμόν, καὶ ἄπειρον ἂν εἶχε δύναμιν. Εἰ δὲ τὸ ἄπειρον ἀτελές, ὡς ἐν τρίτῳ τῶν φυσικῶν, ἀλλά τε ἐκ τῆς ὕλης τῆς μὴ ὡρισμένης εἴδει, οἷόν ἐστι τὸ συμβαῖνον τῇ ποσότητι ἄπειρον.

Εἰ δὲ καὶ μὴ ποιεῖ ἄπειρον ἀποτέλεσμα, ἵνα δεικνύηται ἄπειρος οὖσα καὶ ἵνα μὴ μάτην ᾖ μὴ δεικνυμένη, ἀλλὰ ἡ δύναμις τοῦ συνωνύμως ποιοῦντος ὅλη φανερὰ γίνεται· τοῦ δὲ μὴ συνωνύμως ποιοῦντος, οὐχ ὅλη, οἷον ἡ τοῦ ἡλίου ἐν παραγωγῇ ζῴου τινὸς ἐκ σήψεως γεννηθέντος οὐ φαίνεται ὅλη. Ὁ δὲ Θεὸς οὐ ποιεῖ συνωνύμως τὰ ὄντα. Καὶ εἰ μηδὲν ἔτι ἀποτέλεσμα προῆγεν ἡ θεία δύναμις, μάτην οὐκ ἂν ἦν· εἰκῇ γάρ ἐστιν, ὃ τέτακται πρὸς τέλος οὗ μὴ ἐφικνεῖται· ἡ δὲ θεία δύναμις οὐχ ὡς εἰς τέλος τὸ ἀποτέλεσμα τάττεται, ἀλλ' αὐτὴ μᾶλλόν ἐστι τέλος αὐτοῦ.

Καὶ εἰ μὴ κινεῖ ἐν ἀκαριαίῳ, ὃ τῇ ἀπείρῳ δυνάμει ἁρμόττει κατὰ τὸν Φιλόσοφον ἐν τετάρτῳ τῶν φυσικῶν, ἀλλ' ἐκεῖνο περὶ τῆς σωματικῆς νοεῖται δυνάμεως, ἣν συνωνύμως ποιοῦσαν ἀνάγκη ὅλην ἐν τῇ κινήσει δηλοῦσθαι, καὶ ὅσῳ μείζων ἐστί, τοσούτῳ θᾶττον κινεῖν, καὶ εἰ ἄπειρός ἐστιν, ἀναλογίας ἁπάσης θᾶττον κινεῖν· ὅπερ ἐστὶν οὐκ ἐν χρόνῳ κινεῖν. Τὸ δὲ ἀσώματον κινοῦν, οὐ συνωνύμως κινοῦν, οὐκ ἀνάγκη τὴν ὅλην

---

4 Scholarios écrit πῄ    13 Ps. 88, 9

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ἐμφαίνειν δύναμιν, ἂν ἄπειρος ᾖ, ἐν τῷ μὴ χρόνῳ κινεῖν· ἐξαιρέτως καὶ εἰ κινοίη κατὰ βούλησιν, καὶ ὡς ἂν αὐτὴ διατάξειεν.

3. Ὅτι ὁ Θεὸς παντοδύναμός ἐστι κατὰ τὸ ἐν τῷ Λουκᾷ· „Οὐκ ἀδυνατήσει παρὰ τῷ Θεῷ πᾶν ῥῆμα". Δύναται δὲ πάντα τὰ δυνατά, οὐ
f. 208v τὰ τῇ κτιστῇ δυνατὰ φύσει· | τὸ γὰρ τοῦ Θεοῦ παντοδύναμον εἰς πλείω ἐκτείνεται· οὐδὲ τὰ τῇ αὐτοῦ δυνάμει δυνατά· ἔσται γὰρ κύκλος ἐν τῷ ὁρισμῷ τοῦ παντοδυνάμου τούτου, ὡς εἰ λέγοι τις· δύναται πάντα ὁ Θεὸς ἃ δύναται· ἀλλὰ πάντα τὰ ἁπλῶς δυνατά. Λέγεται δέ τι ἁπλῶς δυνατὸν ἢ ἀδύνατον, ἐκ τῆς τῶν ὅρων σχέσεως, ὅταν τὸ κατηγορούμενον μὴ μάχηται τῷ ὑποκειμένῳ, ὡς τὸ τὸν Σωκράτην καθῆσθαι· καὶ ὅταν μάχηται, ὡς τὸ τὸν ἄνθρωπον εἶναι ὄνον. Τὸ θεῖον τοίνυν εἶναι, ἐν ᾧ ἵδρυται ὁ τῆς θείας δυνάμεως λόγος, ἄπειρόν ἐστιν, οὐδενὶ γένει τοῦ ὄντος ὁριζόμενον, ἀλλὰ προέχον ἐν ἑαυτῷ ὅλου τοῦ ὄντος τὴν τελειότητα. Ὅθεν πᾶν ὅπερ ἔχει ἢ δύναται ἔχειν ὄντος λόγον τοῖς ἁπλῶς δυνατοῖς ἐμπεριέχεται, ὧν τῇ ἀποβλέψει παντοδύναμος ὁ Θεὸς λέγεται. Ἐπεὶ δὲ οὐδὲν τῷ τοῦ ὄντος ἀντίκειται λόγῳ εἰ μὴ τὸ μὴ ὄν, τοῦτο οὔτε ἁπλῶς δυνατόν, οὔτε τῇ θείᾳ δυνάμει ὑπόκειται, οὐδ' ἀσθένειαν αὐτῆς [ἐκδηλοῖ], ἀλλ' ὅτι μὴ δύναται λόγον ἔχειν δυνατοῦ καὶ πρὸς τὸ αὐτό (?).

Καὶ τὰ ἀντιφατικὰ δὲ οὐκ ἐμπεριέχονται τῇ θείᾳ παντοδυναμότητι, διότι οὐ δύνανται ἔχειν τὸν λόγον τῶν δυνατῶν, ἃ καὶ οἰκειότερον λέγονται μὴ δύνασθαι γίνεσθαι ἢ ὅτι οὐ δύναται ποιεῖν αὐτὰ ὁ Θεός.

Τὸ δέ· „Οὐκ ἀδυνατήσει παρὰ τῷ Θεῷ πᾶν ῥῆμα", οὐ προσίσταται τῷ λόγῳ· τὸ γὰρ ἀντίφασιν περιέχον ῥῆμα οὐ δύναται εἶναι· οὐδεὶς γὰρ νοῦς αὐτὸ συλλαβεῖν δύναται.

Ἐκ δὲ τοὐναντίου, εἰ λέγοι τις, ὅτι τὸ κινεῖσθαι καὶ πάσχειν τι τῶν ὄντων ἐστίν, ὅπερ οὐ δύναται ὁ Θεός, ἀκίνητος ὤν, ἢ ὅτι τὸ ἁμαρτάνειν ποιεῖν τί ἐστιν, ὃ οὐ δύναται, ὥσπερ οὐδ' ἀρνήσασθαι ἑαυτόν, ὡς ἐν τῇ πρὸς Τιμόθεον λέγεται· πρὸς μὲν τὸ πρῶτον καὶ προείρηται, ὅτι τῇ ἐνεργητικῇ δυνάμει παντοδύναμος λέγεται, οὐ τῇ παθητικῇ· πρὸς δὲ τὸ δεύτερον, ὅτι τὸ ἁμαρτάνειν τῆς τελείας ἐνεργείας ἀποπίπτειν ἐστίν· ὅθεν τὸ δύνασθαι ἁμαρτάνειν δύνασθαί ἐστιν ἀσθενεῖν ἐν τῷ ποιεῖν, ὅπερ ἐστὶν ἐναντίον τῷ παντοδύναμον εἶναι, καὶ διὰ τοῦτο ὁ παντοδύναμος οὐ δύναται ἁμαρτάνειν.

Ὃ δέ φησιν ὁ Φιλόσοφος ἐν δευτέρῳ τῶν Τοπικῶν, ὅτι ὁ Θεός, καὶ ὁ σπουδαῖος, δύναται φαῦλα πράττειν, ἢ καθ' ὑπόθεσιν νοεῖται, ἧς τὸ προηγούμενον ἀδύνατον, οἷον εἰ θέλοι· οὐδὲν γὰρ κωλύει τὸ συνημμένον ἀληθεύειν, οὗ τὸ ἡγούμενον καὶ τὸ ἑπόμενον ἀδύνατόν ἐστιν, οἷον εἰ ὁ

3 Luc. 1, 37 18 *καὶ πρὸς τὸ αὐτό*: leçon douteuse 22 *λύσις ἀντιθέσεως* add A en marge

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἄνθρωπος ὄνος ἐστί, καὶ τετράπους ἐστὶν ὁ ἄνθρωπος· | ἢ ὅτι ποιεῖν f. 209
δύναται ὁ Θεός τινα, ἃ νῦν φαῦλα δοκοῦσιν· εἰ ἐποίει δέ, ἀγαθὰ ἂν ἦν· ἢ διαλέγεται κατὰ τὸ ἔθος τῶν Ἑλλήνων καὶ τὴν δόξαν, οἳ τοὺς ἀνθρώπους ἔλεγον εἰς θεοὺς μεταβάλλεσθαι, ὡς τὸν Δία καὶ τὸν Ἑρμῆν.

4. Ὅτι οὐ δύναται ποιῆσαι τὰ παρεληλυθότα ὥστε μὴ εἶναι γεγενημένα· οὐδὲ γὰρ τὴν φθαρεῖσαν ποιῆσαι μὴ εἶναι ἐφθαρμένην· ἀντίφασιν γὰρ τοῦτο καὶ τὰ ὅμοια περιέχει, καὶ εἴ τις ἠξίου καὶ ταῦτα ποιεῖν τὸν Θεόν, οὐδὲν ἄλλο ἢ ἠξίου ποιεῖν τὸν Θεὸν τὰ ἀληθῆ αὐτῷ τῷ εἶναι ἀληθῆ ψευδῆ εἶναι. Δύναται δὲ ἀναστῆσαι νεκρὸν καὶ ὀμματῶσαι τυφλόν, διότι ταῦτα οὐ περιέχουσιν ἀντίφασιν, ἀλλ' εἰσὶ μόνον ἀδύνατα φυσικῇ δυνάμει, ἃ τῇ θείᾳ δυνάμει ὑπόκεινται. Τὰ δὲ ἀντιφατικὰ ὅλως τὸν τῶν δυνατῶν ἀπόλλυσι λόγον· διὸ καὶ οὐ δύναται αὐτὰ ὁ Θεὸς διὰ τὸ μὴ δύνασθαι αὐτὰ γενέσθαι.

5. Ὅτι δύναται ποιεῖν ἃ μὴ πεποίηκεν, κατὰ τὸ ἐν τῷ Ματθαίῳ· „Ἢ οὐ δύναμαι παρακαλέσαι τὸν Πατέρα μου, καὶ παραστήσει μοι πλείους ἢ δώδεκα λεγεῶνας ἀγγέλων“· καὶ ὅμως οὔτε αὐτὸς παρεκάλει, οὔτε ὁ Πατὴρ παρέστησεν εἰς ἐκτριβὴν τῶν Ἰουδαίων· ὁ γὰρ Θεὸς οὐκ ἐκ φυσικῆς ἀνάγκης ποιεῖ, οὔτε τεταγμένην δύναμιν ἔχει μόνον, ἀλλὰ καὶ ἀπολελυμένην, ᾗ δύναται ποιεῖν παρ' ἃ προέγνω καὶ προώρισεν. Τὸ μὲν γὰρ ποιεῖν ὑπόκειται τῇ προγνώσει καὶ τῷ προορισμῷ, οὐ μέντοι τὸ δύνασθαι, ὅπερ ἐστὶ φυσικόν. Διὰ τοῦτο γὰρ ὁ Θεὸς ποιεῖ τι διότι θέλει, οὐ μὴν διὰ τοῦτο δύναται, ὅτι θέλει, ἀλλ' ὅτι τοιοῦτός ἐστι τῇ ἑαυτοῦ φύσει· οὐδὲ ὥρισται ἡ σοφία ἢ ἡ δύναμις αὐτοῦ πρὸς τὸν νῦν τῶν πραγμάτων δρόμον, εἰ καὶ ὁ δρόμος οὗτος ὥρισται ἐν τοῖς νῦν πράγμασιν. Διὰ τοῦτο, εἰ καὶ μὴ ἠδύνατο τοῖς νῦν οὖσι βελτίων δίδοσθαι δρόμος, ἀλλ' ὁ Θεὸς ἠδύνατο ἕτερα ποιῆσαι καὶ ἄλλην ἐνθεῖναι αὐτοῖς τάξιν.

6. Ὅτι, ἐπεὶ διπλοῦν ἐστι τὸ τινὸς ἀγαθόν, ἢ κατ' οὐσίαν, ὡς τὸ λογικὸν τῷ ἀνθρώπῳ, ἢ ἔξω τῆς οὐσίας αὐτοῦ, ὡς τὸ σπουδαῖον ἢ σοφὸν εἶναι, τῷ μὲν προτέρῳ τρόπῳ οὐ δύναται ὁ Θεὸς ποιῆσαί τι πρᾶγμα βέλτιον εἶναι, ὥσπερ καὶ τὸν τέσσαρα οὐ δύναται ποιῆσαι μείζω, ἤ, οὐκ ἂν εἴη τέσσαρα· τῷ δὲ δευτέρῳ τρόπῳ δύναται τὰ ὑπ' αὐτοῦ γενόμενα βελτίω ποιεῖν· ἁπλῶς δ' εἰπεῖν, παντὸς ὑπ' αὐτοῦ γενομένου βέλτιον δύναται ποιεῖν.

## XXVI. — Περὶ τῆς θείας μακαριότητος.

1. Ὅτι ἡ μακαριότης ἁρμόζει τῷ Θεῷ, | ὡς ἐν τῇ πρὸς Τιμόθεον f. 209ᵛ
πρώτῃ· „Ἣν καιροῖς ἰδίοις δείξει ὁ μακάριος καὶ μόνος δυνάστης“· τῷ

1 A la marge supérieure du f. 209, cette note autographe dans A: *Σημ. — Ὁ Φιλόσοφος ἐν ἕκτῳ τῶν Ἠθικῶν· τούτου μόνου ἐστέρηται ὁ Θεός· τὰ ἀγέννητα ποιεῖν γεννητά* 15 Matth. 26, 53 37 I Tim. 6, 15

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

γὰρ τῆς μακαριότητος ὀνόματι νοεῖται τὸ τῆς νοερᾶς φύσεως τέλειον ἀγαθόν, ἧς ἐστι τὴν ἑαυτῆς νοεῖν ἱκανότητα ἐν ᾧ ἔχει ἀγαθῷ, καὶ ἧς ἐστι συμβαίνειν τι αὐτῇ καὶ καλῶς καὶ κακῶς, καὶ εἶναι τῶν ἑαυτῆς πράξεων κυρίαν· ἑκάτερον δὲ τούτων ἐξοχώτατα τῷ Θεῷ ἁρμόζει, τουτέστι τέλειον εἶναι καὶ νοεῖν.

Εἰ δέ τις λέγοι τὴν μὲν μακαριότητα μισθὸν ἀρετῆς εἶναι, ὡς ὁ Φιλόσοφος ἐν πρώτῳ τῶν ἠθικῶν, τῷ Θεῷ δὲ οὐ προσήκει ὁ μισθός, ὡς οὐδὲ τὸ ἀγωνίζεσθαι, ἀλλ' ὥσπερ ἔχει ὁ Θεὸς εἶναι, εἰ καὶ μὴ γίνεται, καίτοι τὸ εἶναι τῆς γενέσεως ὅρον συμβαίνει τῷ ὄντι καθόσον ἔξεισιν εἰς ἐντελέχειαν ἐκ δυνάμεως, οὕτω καὶ ὁ Θεὸς ἔχει μακαριότητα, εἰ καὶ μὴ λαμβάνει ταύτην μισθὸν ἄλλου τινός.

2. Ἀποδίδοται δὲ ἡ μακαριότης αὐτῷ κατὰ τὸν νοῦν μόνον, ὡς καὶ τοῖς ἄλλοις μακαρίοις, οἳ τῇ ὁμοιότητι αὐτῆς μακάριοι λέγονται.

3. Ὅτι ἡ μακαριότης, ὡς μὲν τὸ ἀντικείμενον, ἔστιν ὁ Θεός· εἰ δὲ ὡς ἡ ἐνέργεια λαμβάνοιτο καὶ ἡ νόησις, κτιστόν ἐστιν ἐν τοῖς μακαρίοις, εἰ καὶ ἐν τῷ Θεῷ ἄκτιστον· καὶ ὡς μὲν τὸ ἀντικείμενον, ἔσχατόν ἐστιν ἀγαθὸν ἁπλῶς, πρὸς δὲ τὴν ἐνέργειαν, ἔσχατον οὐχ ἁπλῶς, ἀλλ' ἐν τῷ γένει τῶν τῇ κτίσει μεθεκτῶν ἀγαθῶν.

4. Ὅτι ἐν τῇ θείᾳ μακαριότητι πᾶσα περιέχεται μακαριότης ἡ οὖσα ἐν τοῖς κτιστοῖς, ἡ δοκοῦσα. Ἀντὶ μὲν γὰρ τῆς θεωρητικῆς εὐδαιμονίας ἔχει θεωρίαν ἑαυτοῦ καὶ πάντων τῶν ἄλλων συνεχῆ καὶ ἀσφαλεστάτην· ἀντὶ δὲ τῆς πρακτικῆς, τὴν τοῦ ὅλου καὶ παντὸς διοίκησιν· ἀντὶ τῆς γηΐνης εὐδαιμονίας, τῆς ἐν ἡδοναῖς, πλούτῳ, ἐξουσίᾳ, ἀξίᾳ, φήμῃ συνισταμένης, χαίρει ἑαυτῷ καὶ πᾶσι τοῖς ἄλλοις· ἀνθ' ἡδονῆς, ἀντὶ πλούτου τὴν παντελῆ αὐτάρκειαν, ἣν τὸ πλουτεῖν ὑπισχνεῖται· ἀντ' ἐξουσίας τὸ παντοδύναμον· ἀντὶ ἀξίας τὴν πάντων ἀρχήν· ἀντὶ φήμης τὸ θαυμάζεσθαι παρὰ τῆς ὅλης κτίσεως. Εἰ οὖν ἡ θεία τελειότης πᾶσαν περιλαμβάνει τελειότητα, εἰκότως καὶ ἡ θεία μακαριότης, τελειότης τις οὖσα, πᾶσαν μακαριότητα.

Ταῦτα περὶ τῶν ἀνηκόντων τῇ ἑνότητι τῆς θείας οὐσίας.

## Traité de la Trinité.

### *ΝΥΝ ΠΕΡΙ ΤΩΝ ΑΝΗΚΟΝΤΩΝ ΤΗ ΤΡΙΑΔΙ ΤΩΝ ΘΕΙΩΝ ΠΡΟΣΩΠΩΝ.*

### XXVII. — Περὶ τῶν θείων προσώπων.

1. Ὅτι ἔστι πρόοδος ἐν τοῖς θείοις, οὐχ ἡ ἀπὸ τῆς αἰτίας τοῦ ἀπο-
f. 210 τελέσματος, | ὡς Ἄρειος ἐδόξασεν, οὐδ' ὡς τὸ αἴτιον λέγεται εἰς τὸ ἀπο-

---

**8** *ἔχει* **deux fois répété A** **34 Le titre en rouge, en haut f. 210** **36 Après** *ἀποτελέσματος*, **A porte cette note:** *Σημ. — Ἐν τῷ κατὰ Ἰωάννην· ἐγὼ ἐκ τοῦ Θεοῦ ἐξῆλθον καὶ ἥκω*

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

τέλεσμα προϊέναι, ἐφόσον ἢ κινεῖ τοῦτο, ἢ τὴν ἑαυτοῦ ἐντίθησιν ὁμοιότητα, ὡς ὁ Σαβέλλιος λέγων τὸν Θεὸν καὶ Πατέρα Υἱὸν λέγεσθαι ὡς ἐκ παρθένου σῶμα ἀναλαβόντα, καὶ Πνεῦμα ἅγιον, ὡς τὴν λογικὴν κτίσιν ἁγιάζοντα καὶ κινοῦντα πρὸς τὴν ζωήν· οὐδὲ ὅλως κατὰ τὰ ἐν τοῖς σωματικοῖς ἢ τοπικῶς, ἢ κατ' ἐνέργειάν τινος, εἴς τι ἔξωθεν ἀποτέλεσμα, ἀλλὰ κατὰ πρόοδον νοερὰν ἐπὶ τὰ ἔνδον καὶ τῆς ἐνεργείας καὶ αὐτοῦ τοῦ προϊόντος αὐτῇ μένοντος ἀχωρίστως ἐν τῷ ἐνεργοῦντι.

2. Ὅτι ἔστι γέννησις ἐν τοῖς θείοις, οὐχ ἡ ἐκ τοῦ μὴ εἶναι εἰς τὸ εἶναι μεταβολή, οὐδ' αἰτία ζῶντός τινος, ἀλλ' ὡς λόγου πρόοδος ἀπὸ τοῦ νοῦ· πρόεισι γὰρ ὁ θεῖος Λόγος ἀπὸ τοῦ θείου νοῦ κατὰ τρόπον ἐνεργείας νοητόν, ἥτις ἐστὶ ζωῆς ἐνέργεια, καὶ ἐξ ἀρχῆς συνημμένης, καὶ κατὰ λόγον ὁμοιότητος· ἡ γὰρ τοῦ νοῦ σύλληψις ὁμοιότης ἐστὶ τοῦ νοητοῦ πράγματος, καὶ ἐν τῇ αὐτῇ φύσει· ταὐτὸν γάρ ἐστιν ἐκεῖ τὸ νοοῦν καὶ τὸ νοούμενον. Ὅθεν ἡ τοῦ Λόγου πρόοδος γέννησις λέγεται ἐν τοῖς θείοις, καὶ ὁ προϊὼν λόγος, υἱός.

3. Ὅτι εὑρίσκεται ἐν ἡμῖν καὶ ἄλλη πρόοδος κατὰ τὴν τῆς θελήσεως ἐνέργειαν παρὰ τὴν τοῦ λόγου πρόοδον, ἥτις κατὰ τὴν νοερὰν γνωρίζεται ἐνέργειαν, καὶ αὕτη ἡ πρόοδος τῆς ἀγάπης ἐστίν, καθὸ τὸ ἀγαπώμενόν ἐστιν ἐν τῷ ἀγαπῶντι, ὡς κἂν τῇ τοῦ λόγου συλλήψει τὸ νοηθέν ἐστιν ἐν τῷ νοοῦντι· καὶ τὸ οὕτω προϊὸν Πνεῦμα ἅγιον λέγεται καὶ ἀγάπη. Σημαίνεται δὲ τῷ ὀνόματι τοῦ πνεύματος, ὥσπερ ὤθησίς τις καὶ κίνησις ζωτική, καθ' ἣν λέγεταί τις ἐξ ἀγάπης Θεοῦ κινεῖσθαι, ἢ ἐπείγεσθαι πρὸς τὸ ποιῆσαί τι.

5. Ὅτι δύο μόναι πρόοδοι ἐκεῖ διὰ τὸ ἐνεργείας μενούσας ἐν τῷ ἐνεργοῦντι δύο μόνας εἶναι, τὸ νοεῖν καὶ τὸ θέλειν.

## XXVIII. — <Περὶ τῶν θείων ἀναφορῶν.>

1. Ὅτι εἰσὶν ἐν τῷ Θεῷ πραγματικαὶ ἀναφοραί· πατρότητι γὰρ μόνον πατὴρ ὁ Πατήρ, καὶ ὁ Υἱὸς υἱότητι, αἳ εἰ μὴ εἶεν πραγματικῶς ἐκεῖ, οὐδὲ ὁ Πατὴρ καὶ ὁ Υἱὸς ἔσονται πραγματικῶς, ἀλλὰ μόνον κατὰ τὸν τῆς νοήσεως λόγον, ὅ, Σαβέλλιος· ἄλλως τε καὶ ἐν ταὐτότητι φύσεως εἰσὶν αἱ πρόοδοι ἐκεῖ. Ἔνθα δέ τι τοιοῦτον, ἐκεῖ τὸ προϊὸν καὶ τὸ ἀφ' οὗ πρόεισιν πραγματικὰς ἔχουσι σχέσεις.

2. Ὅτι αἱ ἀναφοραὶ ἐκεῖναι αὐτή ἐστιν ἡ θεία οὐσία, πραγματικῶς οὖσαι ἐν αὐτῇ. Εἰσὶ μέντοι γε κατὰ τὸ πρᾶγμα, εἰδητικῶς δὲ διακρίνονται ἢ τῷ τῆς νοήσεως τρόπῳ· ἐν γὰρ τῇ ἀναφορᾷ δηλοῦται παράθεσις πρὸς τὸ ἀντικείμενον αὐτῇ, ὅπερ οὐ δηλοῦται ἐν τῷ τῆς οὐσίας ὀνόματι· | τὸ f. 210v
δὲ εἶναι τὸ κατ' ἐνέργειαν, ἓν καὶ ταὐτὸν τῇ οὐσίᾳ καὶ ταῖς ἀναφοραῖς.

---

27 et p. 370, l. 7: Les titres des questions 28 et 29 manquent dans A



Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Εἰ δὲ μὴ εἶεν αἱ αὐταὶ τῇ οὐσίᾳ τῷ πράγματι, ἔσονται κτίσματα, καὶ ἔσται τι κτίσμα ἐν τῷ Θεῷ ὡς πρᾶγμα, καὶ τὰ κατ' αὐτὰς προϊόντα κτιστὰ ἔσονται, ὃ τῆς ὀρθῆς πίστεως ἔξω. Εἰσὶ δὲ ἀναφοραὶ ἐκεῖ, ἔνθα μὲν πατρότης καὶ υἱότης, ἔνθα δὲ πνεῦσις καὶ ἐκπόρευσις, οὐκ ἐχούσης τῆς προόδου τῆς ἀγάπης ἴδιον ὄνομα.

## XXIX-XXX. — <Περὶ τῶν θείων προσώπων.>

Ὅτι πρόσωπόν ἐστιν, εἴτουν ὑπόστασις, οὐσία ἄτομος λογικῆς φύσεως. Σημαίνει δὲ οὐσίαν μετὰ ἀναφορᾶς, τὴν μὲν ἀναφορὰν προηγουμένως, τὴν δ' οὐσίαν ἑπομένως, ἤ, ἵνα βέλτιον ῥηθῇ, τὴν οὐσίαν μὲν πλαγίως, τὴν δ' ἀναφορὰν κατ' εὐθεῖαν. Εἰ δὲ καὶ τὸ πρόσωπον ἀκοινώνητόν ἐστιν, ὁ μέντοι τοῦ ἀκοινώνητος εἶναι τρόπος δύναται εἶναι πλείοσι κοινός, καὶ διὰ τοῦτο πλείω μὲν πρόσωπα οὐδὲν κωλύει εἶναι ἐν τῷ Θεῷ, τρία δὲ εἶναι καὶ ἡ θεία Γραφὴ διδάσκει ἡμᾶς, καὶ ὁ λόγος τῆς νοερᾶς ἐνεργείας συμβεβαιοῖ.

Ὁ δὲ ἀορίστως σημαίνει τὸ τρία πρόσωπα, τοῦτο σημαίνει τὸ τῆς τριάδος ὄνομα ὡρισμένως· ὅθεν καὶ τριὰς ὁ Θεὸς λέγεται.

## XXXI.

2. Λέγομεν δὲ ὅτι ὁ Πατὴρ ἄλλος ἐστὶ τοῦ Υἱοῦ διὰ τὴν ὑποστατικὴν διάκρισιν, ἀπεναντίας τοῦ Σαβελλίου· ἀλλ' οὐκ ἄλλο, διὰ τὴν οὐσιώδη ἑνότητα, ἀπεναντίας Ἀρείου. Ἀνάπαλιν δὲ λέγομεν, ὅτι αἱ τρεῖς ὑποστάσεις ἕν εἰσιν, ἀλλ' οὐχ εἷς.

3.-4. Δυνάμεθα δὲ καὶ „μόνος ὁ Θεός ἐστιν ἀΐδιος“ λέγειν, ὅτι μηδὲν παρὰ τὸν Θεὸν ἀΐδιόν ἐστιν, ἀλλ' οὐ „μόνος ὁ Πατὴρ Θεός ἐστι“ λέγειν.

## XXXII.

1. Ὅτι ἀδύνατόν ἐστι φυσικῷ λόγῳ ἐπὶ τὴν γνῶσιν τῆς τριάδος τῶν θείων προσώπων ἐλθεῖν. Ἐκεῖνα γὰρ περὶ Θεοῦ τῷ φυσικῷ λόγῳ γινώσκεσθαι δύναται, ἅπερ εἰς τὴν ἑνότητα τῆς οὐσίας ἀνήκουσιν· ὁ δὲ τὴν τῶν προσώπων τριάδα δεικνύναι ἐπιχειρῶν διχῶς ἁμαρτάνει περὶ τὴν πίστιν· πρῶτον μὲν περὶ τὴν ἀξίαν αὐτῆς τῆς πίστεως, περὶ ἀοράτων οὔσης καὶ τὸν ἀνθρώπινον λόγον ὑπερβαινόντων, ὡς ὁ Ἀπόστολός φησιν, ὅτι „ἡ πίστις τῶν μὴ φαινομένων ἐστίν“· καὶ αὖθις· „Σοφίαν λαλοῦμεν ἐν τοῖς τελείοις, σοφίαν δὲ οὐ τοῦ αἰῶνος τούτου οὐδὲ τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου· ἀλλὰ λαλοῦμεν Θεοῦ σοφίαν ἐν μυστηρίῳ τὴν ἀποκεκρυμμένην“· δεύτερον, πρὸς τὸ χρήσιμον τοῦ πρὸς τὴν πίστιν ἄλλους ἕλκειν· οἳ γάρ, πρὸς τὸ δεικνύναι τὴν πίστιν οὐκ ἀνάγκην ἔχοντες λόγοι, τῷ τῶν ἀπίστων

---

33 Heb. 11, 1 34 I Cor. 2, 7-8

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ὑποπίπτουσι γέλωτι, καὶ φήσουσιν ἡμᾶς τούτοις μόνοις ἐπερειδομένους πιστεύειν. Τὰ τοίνυν | τῆς πίστεως ὄντα οὐ δεῖ δεικνύναι πειρᾶσθαι, εἰ f. 211
μὴ διὰ ῥητῶν τοῖς αὐτὰ παραδεχομένοις· πρὸς δὲ τοὺς ἄλλους ἀρκεῖ διεκδικεῖν τὴν πίστιν, καὶ δεικνύναι μὴ ἀδύνατον εἶναι τὸ ὑπ' αὐτῆς κηρυττόμενον.

Ὅτι διχῶς ἡμῖν ἀναγκαία ἦν ἡ γνῶσις τῶν θείων προσώπων, ἕνα μὲν τρόπον πρὸς τὸ ὀρθῶς φρονεῖν περὶ τῆς τῶν ὄντων δημιουργίας· τῷ γὰρ λέγειν τῷ ἑαυτοῦ λόγῳ πάντα ποιῆσαι τὸν Θεόν ἡ αἵρεσις ἐκβάλλεται τῶν τιθέντων ἐκ φυσικῆς ἀνάγκης παραγαγεῖν· τῷ τιθέναι ἐν τῷ Θεῷ πρόοδον ἀγάπης δείκνυται δι' οὐδεμίαν ἔνδειαν ἢ ἐξωτερικὴν αἰτίαν, ἀλλὰ διὰ τὸν ἔρωτα τῆς ἰδίας ἀγαθότητος· ὅθεν καὶ Μωϋσῆς εἰπὼν ὅτι „ἐν ἀρχῇ ἐποίησεν ὁ Θεός", ἐπάγει· „Καὶ εἶπεν ὁ Θεός· γεννηθήτω", πρὸς δήλωσιν τοῦ θείου Λόγου. Εἶτα καὶ εἶδεν ὁ Θεὸς τὸ φῶς, ὅτι καλόν, πρὸς δήλωσιν τοῦ θείου ἔρωτος· ἕτερον δὲ καὶ ἀρχοειδέστερον τρόπον, ἵνα ὀρθὰ δοξάζωμεν περὶ τῆς σωτηρίας τοῦ ἀνθρωπείου γένους, τελεσθείσης διὰ τῆς σαρκώσεως τοῦ Υἱοῦ καὶ τῶν δωρεῶν τοῦ Πνεύματος.

Ἀλλὰ καὶ οἱ φιλόσοφοι ἐνιαχοῦ ἅπτονται τριάδος, εἰ καὶ μὴ ἔγνωσαν τὸ τῶν προσώπων μυστήριον. Καὶ οἱ ἀρχαῖοι τῷ τριαδικῷ ἐχρῶντο ἀριθμῷ ἐπὶ τῶν θυσιῶν καὶ τῶν εὐχῶν διὰ τὴν τοῦ ἀριθμοῦ τελειότητα, ὡς καὶ Ἀριστοτέλης λέγει. Καὶ οἱ Πλατωνικοὶ δὲ μίαν ἀρχὴν ἔλεγον τὸ πρῶτον ὂν καὶ τἀγαθόν, ἣν ἔλεγον πατέρα τῆς τῶν ὄντων ὁλότητος, καὶ ὑπὸ ταύτην ἄλλην οὐσίαν, ἣν νοῦν ὠνόμαζον ἢ νοερὰν ἀρχήν· ἔνιοι δὲ αὐτῶν καὶ οὐρανὸν ἐκάλουν, καὶ ἐν ταύτῃ εἶναι ἔλεγον τοὺς λόγους πάντων τῶν ὄντων· καὶ τρίτην οὐσίαν χωριστήν, ἣν ἐκάλουν ψυχήν, ἣ δοκεῖ τῷ ἁγίῳ Πνεύματι προσήκειν. Ἡμεῖς δ' οὐχ οὕτως ὑποτιθέμεθα τὰ θεῖα πρόσωπα ὡς τῇ οὐσίᾳ διαφέροντα· αὕτη γὰρ ἡ αἵρεσις Ὠριγένους καὶ Ἀρειανῶν πλατωνιζόντων ἐν τούτῳ.

**2.-3.** Ὅτι γνώρισμα τοῦ Πατρὸς μὲν ἡ ἀγεννησία καὶ ἡ πατρότης καὶ ἡ πνεῦσις· τοῦ δὲ Υἱοῦ ἡ υἱότης, τοῦ δὲ ἁγίου Πνεύματος ἡ ἐκπόρευσις. Ἐκ τούτων τὰ τρία μόνον γνωρίσματα κυρίως προσωπικά· πατρότης, υἱότης καὶ ἐκπόρευσις· ἀγεννησία δέ, γνώρισμα μόνον, διότι οὐκ ἔστιν ἀναφορά, εἰ μὴ κατὰ ἀνάγκην· τὸ ἀπ' οὐδενὸς γὰρ εἶναι σημαίνει.

## XXXIII. — Περὶ τοῦ Πατρός.

**1.** Ὅτι ὁ Πατὴρ ἀρχή ἐστι τοῦ Υἱοῦ καὶ τοῦ Πνεύματος· ἀρχὴ γάρ, τὸ ἀφ' οὗ τι πρόεισιν ἤ τινα· τοιοῦτος δὲ ὁ Πατὴρ ἐν τῇ πρὸς τὸν Υἱὸν καὶ τὸ Πνεῦμα παραθέσει.

Ἰστέον δὲ ὡς οἱ Ἕλληνες ἀδιαφόρως τῷ τῆς ἀρχῆς καὶ αἰτίας ὀνό-

11 Gen. 1, 1  12 Gen. 1, 3



Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ματι χρώμενοι, τὸν Πατέρα καὶ αἴτιον τῶν ἐξ αὐτοῦ πάντων λέγουσιν· f. 211v | οἱ δὲ Λατῖνοι ἐπὶ τῶν θείων τῷ τῆς αἰτίας ὀνόματι οὐ κέχρηνται, τῷ δὲ τῆς ἀρχῆς μόνῳ, ὅτι ἡ ἀρχὴ κοινότερον τῆς αἰτίας, ὡς καὶ ἡ αἰτία τοῦ στοιχείου. Ὁ γὰρ πρῶτος ὅρος ἢ τὸ μέρος τοῦ πράγματος ἀρχὴ αὐτοῦ λέγεται, ἀλλ᾽ οὐκ αἰτία· τὰ δὲ κοινότερα ὀνόματα ἁρμόττειν τοῖς θείοις φασίν, ὡς τὰ εἰδικώτερα τοῖς κτίσμασιν· ὥσπερ καὶ τοὔνομα τῆς αἰτίας οὐσίας διαφορὰν σημαίνει, ἠρτημένην ἑτέρου τινός, εἴπερ ἐν πᾶσι τοῖς γένεσι τῆς αἰτίας διάστασίς τις εὑρίσκεται μεταξὺ τῆς αἰτίας καὶ οὗ ἡ αἰτία κατά τινα τελειότητα, ἢ δύναμιν· τῷ δὲ ὀνόματι τῆς ἀρχῆς οὐδεμία διαφορά, τάξις δὲ μόνον ἐμφαίνεται· οὕτω γὰρ τὸ σημεῖον ἀρχὴ γραμμῆς λέγεται, ἢ τὸ πρῶτον τῆς γραμμῆς μέρος, ἀρχὴ τῆς ὅλης γραμμῆς.

2. Ὅτι ἴδιον τοῦ πατρικοῦ προσώπου τὸ πατὴρ ὄνομα· τούτῳ γὰρ διακρίνεται τῶν ἄλλων θείων προσώπων, ὡς ἐν τοῖς Ψαλμοῖς· „Αὐτὸς ἐπικαλέσεταί με· πατήρ μου εἶ συ“.

3. Ὅτι τὸ πατὴρ ὄνομα πρότερον λαμβάνεται ἐν τοῖς θείοις καθό ἐστιν ὄνομα προσωπικὸν ἢ καθὸ οὐσιῶδες· τὸ γὰρ ἀΐδιον, πρότερον τοῦ ἐν χρόνῳ· ἀϊδίως δέ ἐστι Πατὴρ τοῦ Υἱοῦ ὁ Θεός, καὶ ἐν χρόνῳ, τῆς κτίσεως. Καὶ τῇ μὲν πρὸς τὸν Υἱὸν παραθέσει τελείως ὁ λόγος ὅλος τοῦ ὀνόματος σῴζεται, ὥσπερ καὶ ἐν τῷ τοῦ Υἱοῦ, διότι μία αὐτῶν καὶ φύσις καὶ δόξα· τῇ δὲ πρὸς τὴν κτίσιν, οὐ τελείῳ λόγῳ, ἀλλά τινι ὁμοιότητι· οὐ γὰρ ἡ αὐτὴ φύσις κτίστου καὶ κτίσματος.

4. Ὅτι ἴδιον τοῦ Πατρὸς τὸ ἀγέννητον, ὃ σημαίνει τὸ ἀπ᾽ οὐδενὸς εἶναι· διὰ γὰρ τῶν ἀποφάσεων γινώσκονται τὰ πρῶτά τε καὶ ἁπλᾶ, ὡς λέγομεν σημεῖον εἶναι, οὗ μέρος οὐ Θεός.

## XXXIV. — Περὶ τοῦ προσώπου τοῦ Υἱοῦ τοῦ Θεοῦ.

1. Ὅτι ὁ λόγος κυρίως μὲν καὶ ἀρχοειδῶς λέγεται ἡ ἔνδον τοῦ νοῦ σύλληψις· δεύτερον, αὐτὴ ἡ τῆς ἔνδον συλλήψεως σημαντικὴ φωνή· τρίτον, αὐτὴ ἡ τῆς φωνῆς φαντασία· τέταρτον, ὃ διὰ τοῦ λόγου σημαίνεται ἢ λέγεται. Κυρίως οὖν ὁ λόγος ἐπὶ τοῦ Θεοῦ, λέγεται καθὸ σημαίνει τὴν τοῦ νοῦ σύλληψιν, προϊοῦσαν ἐκ τῆς τοῦ συλλαμβάνοντος γνώσεως. Ἧ οὖν σημαίνει τι ἀφ᾽ ἑτέρου προϊὸν καὶ διακρινόμενον, οὐκ οὐσιωδῶς, ἀλλὰ προσωπικῶς λαμβάνεται.

2. Ὅτι τὸ λόγος ὄνομα ἴδιόν ἐστι τοῦ Υἱοῦ. Εἰ δὲ καὶ ὁ Υἱὸς νοεῖ, ἀλλ᾽ οὐκ ἔχει λόγον· οὕτω γὰρ ἁρμόζει αὐτῷ τὸ εἶναι νοοῦντα ὡς καὶ τὸ Θεὸν εἶναι. Ἔστι δὲ Θεὸς γεννητὸς ὁ Υἱός, οὐ μέντοι γεννῶν· ὅθεν ἐστὶ νοῶν οὐχ ὡς προβάλλων λόγον, ἀλλ᾽ ὡς λόγος προϊών, καθόσον ἐν

---

13 Ps. 88, 27 26 en marge, en rouge: *Περὶ τοῦ Υἱοῦ τοῦ Θεοῦ* A 35 *νοοῦντα*: peut-être *νοοῦντι*

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

τῷ Θεῷ ὁ προϊὼν | λόγος οὐ πραγματικῶς τοῦ θείου νοῦ διαφέρει, ἀναφορᾷ f. 212 δὲ διακρίνεται τῆς τοῦ λόγου ἀρχῆς.

3. Ὅτι ἐν τῷ τοῦ λόγου ὀνόματι σημαίνεται καί τις πρὸς τὴν κτίσιν παράθεσις, τὴν διὰ τοῦ λόγου ἐνεργητικῇ δυνάμει γεγενημένην, οὐ μόνον τοῦ Πατρός ἐστιν ἐκφαντικός, ὥσπερ καὶ ἡ θεία ἐπιστήμη τοῦ Θεοῦ μέν ἐστιν καὶ γνωστικὴ μόνον, τῶν δὲ κτισμάτων σχετικῶς καὶ γνωστικὴ καὶ ποιητική. Οὕτω τοίνυν καὶ ὁ θεῖος Λόγος τῶν μὲν ἐν τῷ Θεῷ προϊόντων ἐκφαντικός ἐστι, τῶν δὲ κτισμάτων καὶ ποιητικός, οὐκ ἐκφαντικὸς μόνον· ὡς ἐν τοῖς Ψαλμοῖς· „Εἶπε καὶ ἐγεννήθησαν“· ἐν γὰρ τῷ λόγῳ σημαίνεται ὧν ὁ Θεὸς ποιεῖ αἰτία ποιητική.

## XXXV.

1.-2. Ὅτι ὁ Υἱὸς τοῦ Θεοῦ εἰκὼν τοῦ Πατρὸς λέγεται διὰ τὸ ἐξ αὐτοῦ προϊέναι, ὅμοιος ὢν ἐκείνῳ κατ' εἶδος· καὶ προσωπικόν ἐστι τοῦτο τοῦ Υἱοῦ. Εἰ γὰρ καὶ τὸ Πνεῦμα εἰκὼν λέγεται Πατρὸς καὶ Υἱοῦ, ἀλλὰ διὰ τὸ ὅμοιον εἶδος τῷ Πατρὶ καὶ τῷ Υἱῷ ἔχειν, καὶ ἔστιν ὡσανεὶ οὐσιωδῶς λεγόμενον περὶ αὐτοῦ. Ὁ δὲ Υἱός, διὰ τὸ λαμβάνειν τὸ τοιοῦτον εἶδος ἐκ τοῦ Πατρός, καὶ ἔστιν ἐν τῷ λόγῳ τοῦ Υἱοῦ εἴτουν Λόγου ἡ τοῦ εἴδους ὁμοιότης πρὸς τὸ ἀφ' οὗ πρόεισιν, καὶ διὰ τοῦτο προσωπικόν ἐστι τοῦ Υἱοῦ τοὔνομα. Λέγεται δὲ καὶ ὁ ἄνθρωπος εἰκὼν τοῦ Θεοῦ, ὥσπερ ἡ τοῦ βασιλέως εἰκὼν εἶναι ἐν τῷ νομίσματι· ὁ δὲ Λόγος εἰκὼν ὡς ὁ τοῦ βασιλέως υἱὸς ἐν ὁμοιότητι φυσικῇ. Διὸ καὶ ὁ μὲν ἄνθρωπος λέγεται κατ' εἰκόνα γενέσθαι, ὡς ἐπαγόμενος πρὸς τὴν δυνατὴν ὁμοιότητα· ὁ δὲ Υἱὸς οὐχ οὕτω, ἀλλ' εἰκὼν μόνον, ὡς τελείως ὅμοιος τῷ Πατρί.

## XXXVI. — Περὶ τοῦ ἁγίου Πνεύματος.

1. Ὅτι εἰ καὶ ὁ Πατὴρ πνεῦμα καὶ ἅγιος· καὶ ὁ Υἱὸς πνεῦμα καὶ ἅγιος· „Πνεῦμα γάρ, φησίν, ὁ Θεός“· ἀλλὰ ἰδιοποιεῖται τὸ Πνεῦμα τὸ ἅγιον τὸ κοινὸν ὄνομα, διότι ἀγάπη ἐστίν, ὡς εἴρηται, καὶ τρόπῳ πρόεισιν ἀγάπης· ἴδιον δὲ τῆς ἀγάπης ἐστὶ τὸ τὴν θέλησιν τοῦ ἀγαπῶντος κινεῖν καὶ ὠθεῖν, ὃ τῷ πνεύματι σημαίνεσθαι εἴωθεν, ὡς τὸ φύσημα καὶ τὸν ἄνεμον πνεῦμα καλοῦμεν. Ἡ δὲ ἁγιότης τοῖς εἰς τὸν Θεὸν ταττομένοις ἀποδίδοται· ὡς πρὸς διαστολὴν οὕτως εἴρηται παντὸς ἄλλου πνεύματος οὕτω λεγομένου, καὶ ἔστιν ἀναφορικῶς λεγόμενον.

## XXXVII.

1. Ὅτι, εἰ καὶ οὐσιῶδές ἐστιν ὄνομα ἡ ἀγάπη, ὅταν περὶ τοῦ Θεοῦ ἁπλῶς λέγηται, ὅτι „ὁ Θεὸς ἀγάπη ἐστίν“, ἀλλὰ τῷ Πνεύματι ἰδίως ἁρμόττει καὶ προσωπικῶς, ὅτι πρόεισιν εἰς ἰδίαν ὑπόστασιν ἐκ τοῦ Θεοῦ

---

9 Ps. 32, 9    27 Ioh. 4, 24    37 I Ioh. 4, 8

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

τῷ τρόπῳ τῆς ἀγάπης· καὶ ὥσπερ, εἰ καὶ νοεῖ ὁ Υἱός, ἀλλ' οὐ προάγει λόγον, ὡς εἴρηται, οὕτως, εἰ καὶ τὸ Πνεῦμα τὸ ἅγιον οὐσιωδῶς ἀγαπᾷ, f. 212v καὶ οὐχ ἁρμόττει τούτῳ ἀγάπην προβάλλεσθαι, ὅπερ ἐστὶ τὸ ἀγαπᾶν | ὡς γνώρισμα λαμβανόμενον· ὡς γὰρ προϊοῦσα ἀγάπη, οὐσιωδῶς ἀγαπᾷ, ἀλλ' οὐχ ὡς τὸ ἀφ' οὗ πρόεισιν ἡ ἀγάπη.

## XXXVIII.

1.-2. Ὅτι τὸ Πνεῦμα τὸ ἅγιον καὶ δῶρον καλεῖται ἰδίως καὶ προσωπικῶς, ὡς ἀγάπης τρόπῳ προϊόν, ὡς καὶ προῖκα διδόμενον. Λαμβάνεται γὰρ τὸ Πνεῦμα τὸ ἅγιον παρὰ μόνης τῆς λογικῆς κτίσεως καὶ δι' ἀγάπης τῷ Θεῷ συνημμένης, ἀλλ' οὐ δύναται τῇ ἰδίᾳ ἀφικέσθαι δυνάμει πρὸς τὸ λαμβάνειν αὐτὸ καὶ ἔχειν, καὶ διὰ τοῦτο δῶρον μάλιστα λέγεται· τοῦτο γὰρ δίδοσθαι κυρίως λέγεταί τινι ὅπερ οὐ δύναται ἄλλως ἔχειν, εἰ μὴ ἐκ τοῦ διδόντος λάβοι.

Εἰ δὲ καὶ ὁ Υἱὸς δίδοσθαι λέγεται, ὡς ἐν τῷ Ἡσαΐᾳ· „Υἱὸς ἐδόθη ἡμῖν", ἀλλ' αὐτὸ τοῦτο τὸ τὸν Υἱὸν δίδοσθαι ἐκ τῆς τοῦ Πατρὸς ἀγάπης ἐστίν, ὡς ἐν δευτέρῳ τοῦ κατὰ Ἰωάννην· „Οὕτως ὁ Θεὸς ἠγάπησε τὸν κόσμον, ὥστε τὸν Υἱὸν αὐτοῦ τὸν μονογενῆ ἔδωκεν". Οὐκοῦν τὸ Πνεῦμα τὸ ἐκ τοῦ Πατρὸς ὡς ἀγάπη προϊὸν ἰδίως δῶρον ἐστίν· διὸ καὶ λέγεται περὶ τοῦ Χριστοῦ· „Ὁ Θεός με ἔπεμψε καὶ τὸ Πνεῦμα αὐτοῦ". Εἰ δὲ καὶ πνεῦμα ἡμῶν οὐ δύναται λέγεσθαι, ἀλλὰ δῶρον ἡμῶν λέγεται. Τὸ γὰρ δῶρον, πρὸ τοῦ δοθῆναι, τοῦ διδόντος μόνον ἐστί· μετὰ δὲ τὸ δοθῆναι, ἔστι καὶ τοῦ λαμβάνοντος.

## XXXIX. — *Περὶ τῶν προσώπων ἐν τῇ πρὸς τὴν οὐσίαν παραθέσει.*

1.-2. Ὅτι ἐν τῷ Θεῷ οὐκ ἔστιν ἄλλο ἡ οὐσία κατὰ τὸ πρᾶγμα παρὰ τὸ πρόσωπον· οὐ γὰρ κατὰ συμβεβηκὸς αἱ ἀναφοραὶ ἐν τῷ Θεῷ αἱ συνιστῶσαι τὰ πρόσωπα, ὡς ἐν τοῖς κτίσμασιν, ἀλλ' αὐτή εἰσιν ἡ θεία οὐσία. Διαφέρει μέντοι γε τὰ πρόσωπα ἀλλήλων πραγματικῶς· τὸ γὰρ πρόσωπον ἀναφορὰν σημαίνει, καθόσον ὑφεστώς ἐστιν ἐν τῇ θείᾳ φύσει· ἡ δ' ἀναφορὰ παραβαλλομένη πρὸς τὴν οὐσίαν λόγῳ μόνῳ διενήνοχεν αὐτῷ, πρὸς δὲ τὴν ἀντικειμένην ἀναφορὰν παραβαλλομένη, τῇ τῆς ἀντιθέσεως δυνάμει πραγματικὴν ἔχει διαφοράν, καὶ οὕτω μία οὐσία μένει, καὶ πρόσωπα τρία· καὶ ἐπεὶ ἐν τοῖς θείοις πολλαπλασιαζομένων τῶν προσώπων οὐ πολλαπλασιάζεται ἡ οὐσία, λέγομεν τῶν τριῶν προσώπων μίαν εἶναι οὐσίαν καὶ μιᾶς οὐσίας τὰ τρία πρόσωπα.

3.-6. Ὅτι τὰ τὴν θείαν οὐσίαν οὐσιωδῶς σημαίνοντα ἑνικῶς μόνον,

15 Is. 9, 6   17 Ioh. 3, 16   20 Is. 48, 16

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ἀλλ' οὐ πληθυντικῶς τῶν θείων προσώπων κατηγοροῦνται· τὰ δὲ προσηγορικῶς, πληθυντικῶς τῶν τριῶν προσώπων κατηγοροῦνται διὰ τὸ πλῆθος τῶν ὑποκειμένων, οἷον τρεῖς ὑφεστῶτας λέγομεν καὶ τρεῖς σοφοὺς καὶ τρεῖς ἀϊδίους, ἀκτίστους, ἀπείρους· ἀλλ' ἓν ἄκτιστον, καὶ ἓν ἀΐδιον, καὶ ἓν ἄπειρον οὐσιωδῶς κατηγοροῦντες.

7. Ὅτι τὸ μὲν ὄνομα καὶ τὰ ὅμοια κυρίως καὶ κατὰ τὴν αὐτῶν f. 213
φύσιν οὐσίαν ὑποτιθέναι δοκεῖ· ἐκ δὲ τοῦ συνεζευγμένου γνωριστικοῦ ἕλκεσθαι καὶ πρὸς τὸ ὑποτιθέναι πρόσωπον· οὐσίαν μὲν γὰρ ὑποτίθησιν, ὅταν λέγωμεν· „ὁ Θεὸς δημιουργεῖ"· ἁρμόζει γὰρ τῷ ὑποκειμένῳ τὸ κατηγορουμένον τοῦτο τῷ τοῦ σημαινομένου εἴδους λόγῳ, ὅπερ ἐστὶν ἡ θεότης· ὅταν δὲ λέγωμεν· „ὁ Θεὸς γεννᾷ", ὑποτίθησι τὸ πατρικὸν πρόσωπον.

## XL.

1. Ὅτι τὸ πρόσωπον καὶ ἡ ἀναφορὰ εἴτουν ἰδιότης ταὐτόν ἐστι πράγματι· ἐν γὰρ τοῖς θείοις οὐ διαφέρει πράγματι τὸ ὅπερ ἔστι καὶ τὸ ᾧ ἔστιν· ὁ δὲ Πατὴρ πατρότητί ἐστι πατήρ· ταὐτὸν ἄρα. Ὁμοίως δὲ καὶ περὶ τῶν ἄλλων.

2. Ὅτι τὰ θεῖα πρόσωπα ταῖς προόδοις καὶ ταῖς ἀναφοραῖς διακρίνονται. Πρόοδος δὲ καὶ ἀναφορὰ ταὐτόν ἐστι τῷ πράγματι· ἀλλ' ἐπειδὴ κατὰ τὸν τῆς σημασίας διαφέρουσι τρόπον· ἡ μὲν γὰρ πρόοδος κατὰ τὸν τῆς ἐνεργείας τρόπον σημαίνεται, ὥσπερ ἡ γέννησις· ἡ δ' ἀναφορά, κατὰ τὸν τοῦ εἴδους, ὡς ἡ πατρότης· δεῖ λέγειν, ὅτι ταῖς ἀναφοραῖς μᾶλλον καὶ κυριώτερον διακρίνονται ἢ ταῖς προόδοις.

3. Ὅτι ἀφαιρεθείσης κατ' ἐπίνοιαν τῆς ἀναφορᾶς ἀπὸ τοῦ προσώπου, οὐ μένει ἡ ὑπόστασις. Αὗται γὰρ αἱ ἀναφοραὶ διακρίνουσι καὶ συνιστῶσι τὰς ὑποστάσεις, καί, ὡς Ἱλάριος ἐν τετάρτῳ περὶ Τριάδος φησίν· „Οὐδὲν ἔχει ὁ Υἱὸς πλὴν τῆς γεννήσεως, τῇ δὲ γεννήσει ἐστὶν υἱός". Ἀφαιρεθείσης ἄρα τῆς υἱότητος, οὐκέτι μένει ἡ τοῦ Υἱοῦ ὑπόστασις· καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως.

## XLII.

1. Ὅτι τὰ θεῖα πρόσωπα ἴσα εἰσίν. Ἴσον γὰρ λέγεται κατὰ ἀπόφασιν τοῦ μείζονος καὶ ἐλάττονος, ὡς ὁ Φιλόσοφος ἐν πέμπτῳ τῶν μετὰ τὰ φυσικά· ἐν δὲ τοῖς θείοις προσώποις οὐ δυνάμεθα τιθέναι τι μεῖζον καὶ ἔλαττον· ἢ οὐκ ἔσται εἷς Θεός, ὅπερ ἄτοπον καὶ ἀδύνατον. Εἰ δὲ ἡ ἰσότης ποσότητα σημαίνει καὶ τὸ ἐν ποσότητι ἕν, πᾶσα δὲ ποσότης οὐχ ἁρμόζει τοῖς θείοις, ἀλλ' ἡ μετρητὴ ποσότης οὐχ ἁρμόζει τοῖς θείοις, ἀλλ' ἡ κατὰ δύναμιν ἀσώματον μέγεθος λεγομένη, ἥτις ἐν τῷ εἶναι καὶ

---

30 La question XLI: *De personis in comparatione ad actus notionales*, est entièrement passée

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

τῇ ἐνεργείᾳ καταλαμβάνεται. Ὡς γὰρ καὶ Αὐγουστῖνος φησίν· „Ἡ ἰσότης ἐν τοῖς θείοις νοεῖται προσώποις καθόσον οὐδεὶς αὐτῶν ἢ ἀϊδιότητι προηγεῖται, ἢ μεγέθει ὑπερβάλλει, ἢ δυνάμει νικᾷ".

2. Ὅτι ἴσος ὁ Υἱὸς καὶ τὸ Πνεῦμα τῷ Πατρὶ κατὰ τὴν ἀϊδιότητα· ἐκ δυοῖν γὰρ συμβαίνει τὸ εἶναί τι ἐξ ἀρχῆς ὑφεστὼς τῆς ἰδίας ἀρχῆς ὕστερον· ἢ ἐκ τοῦ ἐνεργοῦντος, ἢ ἐκ τῆς ἐνεργείας. Καὶ τὸ ἐκ τοῦ ἐνεργοῦντος, διχῶς· ἢ ἐν τοῖς ἑκουσίως ποιοῦσιν, | f. 213v ἢ ἐν τοῖς φυσικῶς, ὡς ἐν μὲν τοῖς ἑκουσίως, διὰ τὴν τοῦ καιροῦ ἐκλογήν· ἐν δὲ τοῖς φύσει ποιοῦσι, διὰ τὸ μήπω παρεῖναι τὴν τελειότητα τῆς φυσικῆς πρὸς τὸ ποιεῖν δυνάμεως· ἐκ δὲ τῆς ἐνεργείας, διὰ τὸ μὴ ἐνέργειαν ἐν τῷ ἐφεξῆς εἶναι, καὶ διὰ τοῦτο μὴ δύνασθαι ἅμα τῷ ἄρξασθαι ποιεῖν τὸ ποιοῦν ἢ προάγειν καὶ τὸ ἀποτέλεσμα εἶναι, ἀλλ' ἐν τῷ ἀκαριαίῳ ἐν ᾧ καὶ ἡ ἐνέργεια τελευτᾷ. Τούτων δὲ οὐδὲν τοῖς θείοις ἁρμόζει· ὁ γὰρ Πατὴρ φύσει γεννᾷ τὸν Υἱὸν οὐ θελήσει, καὶ ἐξ ἀϊδίου φύσιν ἔχει τελείαν· καὶ ἡ ἐνέργεια, ᾗ προάγει τὸν Υἱόν, οὐκ ἔστιν ἐν τῷ ἐφεξῆς· οὕτω γὰρ καὶ ὁ Υἱὸς ἐφεξῆς ἂν ἐγεννᾶτο. Ἀλλ' ἀδύνατον· οὐ γάρ ἐστιν ἡ γέννησις αὐτοῦ ὑλικὴ καὶ μετὰ κινήσεως. Ὁ δ' αὐτὸς καὶ περὶ τοῦ Πνεύματος λόγος. Συναΐδια ἄρα τὰ προαγόμενα πρόσωπα τῷ προάγοντι Θεῷ καὶ Πατρί.

3. Ὅτι ἔστι τάξις ἐν τοῖς θείοις προσώποις. Ὅπου γάρ ἐστι πλῆθος τάξεως ἄνευ, ἐκεῖ καὶ σύγχυσις· καὶ ὅτι ἡ τάξις τῇ πρὸς ἀρχήν τινα παραθέσει λέγεται, εἴτε κατὰ θέσιν εἴη ἡ ἀρχή, ὡς τὸ σημεῖον, εἴτε κατὰ τὸν νοῦν, ὡς ἡ τῶν ἀποδείξεων ἀρχή, ἢ καθ' ἑκάστην τῶν αἰτιῶν. Ἐν δὲ τοῖς θείοις λέγεται ἡ ἀρχὴ καὶ κατ' αἰτίαν ἄνευ τοῦ προτέρου. Ὅθεν ἀνάγκη ἐν αὐτοῖς καὶ τάξιν εἶναι ἄνευ τοῦ εἶναί τι πρότερον· καὶ αὕτη λέγεται τάξις φύσεως, οὐχ ᾗ ἐστιν ὁ εἷς τοῦ ἄλλου πρότερος, ἀλλ' ᾗ ἐστιν ἐκ τοῦ ἑτέρου ὁ ἕτερος.

5. Ὅτι τὸ ἓν πρόσωπον ἐν τῷ ἑτέρῳ ἐστίν, ὡς ἐν τῷ κατὰ Ἰωάννην λέγεται· „Ἐγὼ ἐν τῷ Πατρί, καὶ ὁ Πατὴρ ἐν ἐμοί", οἷον ὁ Υἱός ἐστιν ἐν τῷ Πατρὶ κατὰ μὲν τὴν οὐσίαν, ὅτι ὁ Πατήρ ἐστιν ἡ οὐσία αὐτοῦ· κοινωνεῖ γὰρ τῆς οὐσίας ὁ Πατὴρ τῷ Υἱῷ οὐ κατά τινα μεταβολήν· καὶ οὕτως ὁ Πατήρ ἐστιν ἐν τῷ Υἱῷ οὐδὲν ἧττον τῆς πατρικῆς οὐσίας, οὔσης ἐν τῷ Υἱῷ.

Ἔτι, κατὰ τὴν ἀναφοράν· δῆλον γάρ, ὅτι θάτερον τῶν ἀντικειμένων ἀναφορικῶς ἐν θατέρῳ ἐστίν.

Ἔτι, καὶ κατὰ τὴν αἰτίαν· ἡ γὰρ νοερὰ τοῦ λόγου πρόοδος οὐκ ἔστιν ἐπὶ τὰ ἔξω, ἀλλ' ἐν τῷ λέγοντι μένει· τὸ δὲ τῷ λόγῳ λεγόμενον ἐν τῷ λόγῳ περιέχεται. Ὁ δ' αὐτὸς καὶ περὶ τοῦ Πνεύματος λόγος.

Εἰ δὲ οὐδεὶς ἐνταῦθα τρόπος ἁρμόζει τοῦ ἔν τινι, οὓς ὀκτὼ τίθησιν

---

28 Ioh. 14,10

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ὁ Φιλόσοφος ἐν τετάρτῳ τῶν φυσικῶν, οὐ θαυμαστόν· τὰ γὰρ ἐν τοῖς κτίσμασιν οὐχ ἱκανῶς τὰ ἐν τῷ Θεῷ παριστῶσιν. Ἔοικε μέντοι τούτῳ μᾶλλον ὁ τρόπος, καθ' ὃν λέγεταί τι εἶναι ἐν τῇ κατ' αἰτίαν ἀρχῇ ἄνευ τοῦ ἐν τοῖς κτίσμασι μὴ εἶναι τὴν κατ' οὐσίαν ἑνότητα τῆς τε ἀρχῆς καὶ τοῦ ἐκ τῆς ἀρχῆς.

6. Ὅτι τὰ θεῖα πρόσωπα καὶ κατὰ τὴν δύναμιν | ἴσα εἰσί. Λέγεται f. 214
γὰρ ἐν τῷ κατὰ Ἰωάννην· „Ὅσα ὁ Πατὴρ ποιεῖ, ταῦτα καὶ ὁ Υἱὸς ὁμοίως ποιεῖ"· ἕπεται γὰρ ἡ δύναμις τῇ φυσικῇ τελειότητι.

Εἰ δὲ λέγεται μὴ δύνασθαι τὸν Υἱὸν ποιεῖν ἀφ' ἑαυτοῦ οὐδέν, ἀλλ' οὐκ ἀφαιρεῖται δύναμίς τις τοῦ Υἱοῦ, ἣν ὁ Πατὴρ οὐσιωδῶς ἔχει· εὐθὺς γὰρ πρόσκειται τό „Ὅσα ὁ Πατὴρ ποιεῖ, ταῦτα καὶ τὸν Υἱὸν ὁμοίως ποιεῖν"· δείκνυται δὲ μόνον τὸ τὸν Υἱὸν παρὰ τοῦ Πατρὸς ἔχειν τὴν δύναμιν, παρ' οὗ καὶ τὴν φύσιν.

Τὸ δὲ τὸν Πατέρα ἐντέλλεσθαι καὶ διδάσκειν, τὸν δὲ Υἱὸν ἀκούειν, διὰ τὸ κοινωνεῖν τὸν Πατέρα τῷ Υἱῷ τῆς ἐπιστήμης καὶ τῆς θελήσεως, εἰ καὶ μᾶλλον ἐπὶ τὸν Χριστὸν ταῦτα ἀνακτέον κατὰ τὴν ἀνθρωπίνην φύσιν.

## XLIII. — Περὶ ἀποστολῆς.

1. Ὅτι ἁρμόζει τοῖς θείοις προσώποις τὸ ἀποστέλλεσθαι, ὡς ἐν τῷ κατὰ Ἰωάννην λέγεται· „Οὐκ εἰμὶ μόνος, ἀλλ' ἐγὼ καὶ ὁ πέμψας με Πατήρ". Ὁ γὰρ Υἱὸς οὐ μόνον ἀϊδίως ἐκ τοῦ Πατρὸς πέμπεται ὡς ἐκεῖθεν προϊών, ἀλλὰ καὶ καινόν τινα τρόπον γέγονεν ἐν τῷ κόσμῳ· ἤρξατο γὰρ ἐν αὐτῷ εἶναι καὶ ὁρατῶς διὰ τῆς προσληφθείσης σαρκός, ἐν ᾧ καὶ πρότερον ἀοράτως ἦν, ὡς ἐν τῷ κατὰ Ἰωάννην λέγεται· ἀλλ' οὐ σημαίνεται ὕφεσις τοῦ ἀποστελλομένου. Οὐ γὰρ κατ' ἐξουσίαν ἢ κατὰ βουλήν, ἀλλὰ κατὰ τὴν ἐν ἰσότητι φύσεως πρόοδον ἡ ἀποστολὴ νοεῖται. Ἀλλ' οὐδὲ χωρισμὸς ἐνταῦθα τοῦ πεμπομένου νοεῖται, ὡς ἐν τῇ κατὰ τοπικὴν κίνησιν ἀποστολῇ.

2. Ὅτι ἡ ἀποστολὴ ἢ ἡ πέμψις οὐ πρόοδον μόνον ἐκ τῆς ἀρχῆς σημαίνει, ἀλλὰ καὶ εἰδικὸν τῆς προόδου ὅρον ὁρίζει. Ὅθεν ἡ τοῦ θείου προσώπου ἀποστολὴ χρονική ἐστιν· εἰς γὰρ τὴν κτίσιν ἐστίν, ὡς ἐν δ' τῆς πρὸς Γαλάτας λέγεται· „Ὅτε δὲ ἦλθε τὸ πλήρωμα τῶν καιρῶν, ἀπέστειλεν ὁ Θεὸς τὸν Υἱὸν αὐτοῦ".

4. Ἰστέον δὲ ὅτι, ὡς οὐκ ἔστιν ἀφ' ἑτέρου ὁ Πατήρ, οὐδὲ ἀποστέλλεται.

5. Ὅτι καὶ ἀοράτως ἀποστέλλεται ὁ Υἱὸς καὶ τὸ Πνεῦμα τὸ ἅγιον· διὰ γὰρ τῆς κεχαρισμένον ποιούσης χάριτος ὅλη ἡ Τριὰς ἐνοικεῖ τῇ διανοίᾳ, ὡς ἐν τῷ κατὰ Ἰωάννην· „Ἐλευσόμεθα καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν". Ἀποστέλλονται δὲ ἀοράτως μόνος ὁ Υἱὸς καὶ τὸ Πνεῦμα, διότι αὐτοῖς οὐ τὸ διὰ τῆς χάριτος ἐνοικεῖν μόνον ἁρμόζει, ἀλλὰ καὶ τὸ ἐκ τοῦ Πατρὸς

7 Ioh. 5, 19   20 Ioh. 8, 16   31 Gal. 4, 4   36 Ioh. 14, 23

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006